## *Δ'.*

*Διὰ τί τῶν ὀμβρίων ὑδάτων εὐαλδέστερα τοῖς σπέρμασι τὰ μετὰ βροντῶν καὶ ἀστραπῶν, ἃ δὴ καὶ ἀστραπαῖα καλοῦσι;*

*Πότερον ὅτι πνευματώδη διὰ τὴν τοῦ ἀέρος ταραχὴν
καὶ ἀνάμιξιν, τὸ δὲ πνεῦμα τὴν ὑγρότητα κινοῦν μᾶλλον
ἀναπέμπει καὶ ἀναδίδωσιν; ἢ βροντὰς μὲν καὶ |
**913** ἀστραπὰς ποιεῖ τὸ θερμὸν ἐν τῷ ἀέρι πρὸς τὸ ψυχρὸν μα-
χόμενον (διὸ χειμῶνος ἥκιστα βροντᾷ μάλιστα δ' ἔαρος
καὶ φθινοπώρου διὰ τὴν ἀνωμαλίαν τῆς κράσεως), ἡ δὲ
θερμότης πέττουσα τὸ ὑγρὸν προσφιλὲς ποιεῖ τοῖς βλα-
στάνουσι καὶ ὠφέλιμον; ἢ μάλιστα μὲν ἔαρος βροντᾷ
καὶ ἀστράπτει διὰ τὴν εἰρημένην αἰτίαν, τὰ δ' ἐαρινὰ τῶν
ὑδάτων ἀναγκαιότερα τοῖς σπέρμασι πρὸ τοῦ θέρους,
ὅθεν ἡ πλεῖστον ὑομένη τοῦ ἔαρος χώρα καθάπερ ἡ ἐν
Σικελίᾳ πολλοὺς καὶ ἀγαθοὺς καρποὺς ἀναδίδωσιν;*

## *Ε'.*

*Διὰ τί τῶν χυμῶν, ὀκτὼ τῷ γένει ὄντων, ἕνα μόνον, τὸν
B ἁλμυρόν, ἀπ' οὐδενὸς καρποῦ γεννώμενον ὁρῶμεν; καίτοι
καὶ τὸν πικρὸν ἡ ἐλαία φέρει πρῶτον καὶ τὸν ὀξὺν ὁ βό-
τρυς, εἶτα μεταβάλλων ὁ μὲν γίνεται λιπαρὸς ὁ δ' οἰνώ-
δης· μεταβάλλει δὲ καὶ ὁ στρυφνὸς ἐν ταῖς φοινικοβαλά-*